καὶ συνήχθη πρὸς αὐτὸν ὄχλος πολύς.
ὥστε αὐτὸν ἐμβάντα εἰς τὸ πλοῖον κα
θῆσθαι ἐν τῇ θαλάσσῃ· καὶ πᾶς ὁ ὄ
χλος πρὸς τὴν θάλασσαν ἐπὶ τῆς γῆς
ἦν· καὶ ἐδίδασκεν αὐτοὺς ἐν παρα
βολαῖς πολλά· καὶ ἔλεγεν αὐτοῖς
ἐν τῇ διδαχῇ αὐτοῦ· ἀκούετε· ἰδοὺ ἐξῆλ
θεν ὁ σπείρων. τοῦ σπεῖραι· καὶ ἐγένε
το ἐν τῷ σπείρειν. ὃ μὲν ἔπεσε παρὰ
τὴν ὁδόν· καὶ ἦλθε τὰ πετεινά. καὶ
κατέφαγεν αὐτό· ἄλλο δὲ ἔπεσεν ἐ
πὶ τὸ πετρῶδες ὅπου οὐκ εἶχε γῆν πο
λλήν· καὶ εὐθέως ἐξανέτειλε διὰ τὸ
μὴ ἔχειν βάθος γῆς· ἡλίου δὲ ἀνατεί
λαντος ἐκαυματίσθη· καὶ διὰ τὸ μὴ
ἔχειν ῥίζαν ἐξηράνθη· καὶ ἄλλο ἔπε
σεν εἰς τὰς ἀκάνθας· καὶ ἀνέβη
σαν αἱ ἄκανθαι καὶ συνέπνιξαν αὐ
τό· καὶ καρπὸν οὐκ ἔδωκεν· καὶ ἄλ
λο ἔπεσεν εἰς τὴν γῆν τὴν καλήν· καὶ

ἀρχὴ ... τῇ ε΄ τῆς ... ἑβδ(ομάδος) ... Τῷ καιρῷ ἐκείνῳ ἤκουσεν ὁ
τετράρχης τὴν ἀκοὴν Ἰυ̃.

ἐκπορευόμενοι ἐκεῖθεν. ἐκτινάξατε τὸν χοῦν
τὸν ὑποκάτω τῶν ποδῶν ὑμῶν, εἰς μαρ-
τύριον αὐτοῖς· ἀμὴν λέγω ὑμῖν· ἀνεκτό-
τερον ἔσται Σοδόμοις ἢ Γομόρροις ἐν ἡ-
μέρᾳ κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ· Καὶ μϛ
ἐξελθόντες ἐκήρυσσον· ἵνα μετανοή-
σωσι· καὶ δαιμόνια πολλὰ ἐξέβαλλον·
καὶ ἤλειφον ἐλαίῳ πολλοὺς ἀρρώστους.
καὶ ἐθεράπευον· Καὶ ἤκουσεν μζ κδ
ὁ βασιλεὺς Ἡρῴδης· φανερὸν γὰρ ἐγέ-
νετο τὸ ὄνομα αὐτοῦ. καὶ ἔλεγεν· ὅτι Ἰω-
άννης ὁ βαπτίζων ἐκ νεκρῶν ἠγέρθη·
καὶ διὰ τοῦτο ἐνεργοῦσιν αἱ δυνάμεις
ἐν αὐτῷ· ἄλλοι ἔλεγον· ὅτι Ἠλίας ἐστίν·
ἄλλοι ἔλεγον· ὅτι προφήτης ἐστίν. ὡς μη
εἷς τῶν προφητῶν· ἀκούσας δὲ ὁ Ἡ-
ρῴδης εἶπεν· ὅτι ὃν ἐγὼ ἀπεκεφάλη-
σα Ἰωάννην, οὗτός ἐστιν· αὐτὸς ἠγέρ-
θη ἐκ νεκρῶν· Αὐτὸς γὰρ ὁ Ἡρῴδης μθ
ἀποστείλας ἐκράτησε τὸν Ἰωάννην·

μθ

καὶ ἔδησεν αὐτὸν ἐν φυλακῇ· διὰ ἡρω
διάδα τὴν γυναῖκα φιλίππου τοῦ ἀ
δελφοῦ αὐτοῦ· ὅτι αὐτὴν ἐγάμησεν·
ἔλεγε γὰρ ὁ ἰωάννης τῷ ἡρώδῃ· ὅτι οὐκ
ἔξεστί σοι ἔχειν τὴν γυναῖκα τοῦ ἀδελ
φοῦ σου· ἡ δὲ ἡρωδιὰς ἐνεῖχεν αὐ
τῷ· καὶ ἤθελεν αὐτὸν ἀποκτεῖναι·
καὶ οὐκ ἠδύνατο· ὁ γὰρ ἡρώδης ἐφο
βεῖτο τὸν ἰωάννην· εἰδὼς αὐτὸν ἄν
δρα δίκαιον καὶ ἅγιον· καὶ συνετήρει
αὐτόν· καὶ ἀκούσας αὐτοῦ πολλὰ ἐ
ποίει· καὶ ἡδέως αὐτοῦ ἤκουε· καὶ
ν γενομένης ἡμέρας εὐκαίρου· ὅτε ἡ
ρώδης τοῖς γενεσίοις αὐτοῦ δεῖπνον
ἐποίει· τοῖς μεγιστᾶσιν αὐτοῦ· καὶ τοῖς
χιλιάρχοις· καὶ τοῖς πρώτοις τῆς γα
λιλαίας· καὶ εἰσελθούσης τῆς θυ
γατρὸς αὐτῆς τῆς ἡρωδιάδος· καὶ
ὀρχησαμένης· καὶ ἀρεσάσης τῷ ἡ
ρώδῃ καὶ τοῖς συνανακειμένοις·

